στημονικάς. αἱ δὲ προηγήσεις καὶ αἱ δύσεις, ἀβεβαίους, εὐμεταθέτους, ἀσθενεῖς, ἀφερεπόνους, ἐμπαθεῖς, ταπεινάς, δειλάς, ἀμφιβόλους, θρασυδείλους, ἀμβλείας, βλακώδεις, δυσκινήτους. οἱ δὲ ἑσπέριοι στηριγμοί, καὶ αἱ ὑπὸ γῆν μεσουρανήσεις, ἐπὶ δὲ ἐφ᾽ Ἑρμοῦ καὶ ♀, ἡμέρας μὲν, αἱ ἑσπέριαι δύσεις, νυκτὸς δὲ, αἱ ἑῷαι, εὐφυεῖς μὲν καὶ φρονίμους, οὐκ ἄγαν δὲ μνημονευτικάς, οὐδ᾽ ἐπιμόχθους, καὶ φιλοπόνους. διερευνητικὰς δὲ τῶν ἀποκρύφων, καὶ ζητητικὰς δὲ τῶν ἀθεωρήτων, οἷον μαγικάς, μυστηριακάς, μετεωρολογικάς, ὀργανικάς, μηχανικάς, θαυματοποιούς, ἀστρολογικάς, φιλοσόφους, οἰωνοσκοπικάς, ὀνειροκριτικάς, καὶ τὰς ὁμοίας. ὅτε δὲ ἐν ἰδίοις ἢ ἐνοικείοις ὄντες τύχοιεν τόποις τε καὶ αἱρέσεσιν, οἱ τὴν κυρείαν ἔχοντες τὴν ψυχικὴν, καθ᾽ ὃν ἐν ἀρχῇ διωρισάμεθα τρόπον, προφανῆ καὶ ἀπαραπόδιστα καὶ αὐθέκαστα, καὶ ἐπιτευκτικὰ ποιοῦσι τὰ ἰδιώματα, καὶ μάλισθ᾽ ὅταν οἱ αὐτοὶ τῶν δυο τρόπων ἐπικρατήσωσιν ἅμα, τουτέστι τῷ μὲν τοῦ Ἑρμοῦ τυγχάνωσιν ὁπωσδήποτε συνεσχηματισμένοι, τὴν δὲ τῆς ☾ ἀπόρροιαν, ἢ καὶ συναφὴν ἐπέχοντες. μὴ οὕτω δὲ διακείμενοι ἀλλ᾽ ἐν ἀνοικείοις ὄντες τόποις, τὰ μὲν τῆς ἑαυτῶν φύσεως οἰκεῖα πρὸς τὴν ψυχικὴν ἐνέργειαν, ἀνεπίφαντα καὶ ἀμαυρὰ καὶ ἀτελείωτα, καὶ ἀπρόκοπα καθιστᾶσι. τὰ δὲ τῆς τῶν ἐπικρατησάντων ἢ ὑπερτερησάντων, ἰσχυρά τε καὶ ἐπιβλαβῆ τῶν προκειμένων, ὡς ὅταν οἵτε διὰ τὴν τῶν κακοποιῶν οἰκείωσιν, ἄδικοι καὶ πονηροί, κρατούντων μὲν αὐτῶν, εὐπρόχωρητον καὶ ἀνεμπόδιστον καὶ ἀκίνδυνον καὶ ἐπίδοξον ἔχουσι τὴν πρὸς τὸ καλῶς ἄλλους ποιεῖν ὁρμὴν, κρατουμένων δὲ ὑπὸ τῶν τῆς ἐναντίας αἱρέσεως, κατάφοροι, καὶ ἀνεπίτευκτοι καὶ εὐτιμώρητοι γίνονται. οἵτ᾽ αὖ πάλιν διὰ τὴν τῶν ἀγαθοποιούντων πρὸς τοὺς προκειμένους ὅρους συνοικείωσιν ἀγαθοὶ καὶ δίκαιοι, ἀκαθυπερτερήτων μὲν ὄντων, αὐτοί τε χαίρουσι καὶ εὐφημοῦνται ἐπὶ ταῖς τῶν ἄλλων εὐποιίαις, καὶ ὑπὸ μηδενὸς ἀδικούμενοι, ἀλλ᾽ ὀνησιφόρον ἔχοντες τὴν δικαιοσύνην διατελοῦσι, κρατουμένων δὲ ὑπὸ τῶν ἐναντίων, ἀνάπαλιν, καὶ δι᾽ αὐτὸ τὸ πρᾶον καὶ φιλάνθρωπον καὶ ἐλεητικὸν, εὐκαταφρόνητοί τε ἐπίμεμπτοι ἢ ὑπὸ τῶν πλείστων εὐαδίκητοι τυγχάνουσιν. ὁ μὲν οὖν καθολικὸς τρόπος τῆς εἰδικῆς ἐπισκέψεως, τοιοῦτος ἂν εἴη, τὰς δὲ κατὰ μέρος ἀπ᾽ αὐτῆς τῆς τῶν ἀστέρων φύσεως, κατὰ τὴν τοιαύτην κυρείαν ἀποτελουμένας ἰδιοτροπίας, ἑξῆς κατὰ τὸ κεφαλαιῶδες, ἐπεξελευσόμεθα, μέχρι τῆς καθ᾽ ὁλοσχερείαν θεωρουμένης συγκράσεως. ὁ

♄ μὲν οὖν τοῦ ♄ ἀστὴρ μόνος, τὴν οἰκοδεσποτίαν τῆς ψυχῆς λαβὼν, καὶ

αὐθεντήσας